# Σάββατο 13 Ἰουλίου 2019

σύναξις ἀρχαγγέλου Γαβριὴλ

Στεφάνου ὁσίου τοῦ Σαββαΐτου (†749)

## ΟΡΘΡΟΣ

### Ἑξάψαλμος

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.(γʹ)
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.(βʹ)

ψαλμὸς γʹ

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ’ ἐμέ.
Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.
Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.
Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.
Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.

ψαλμὸς λζʹ (37)

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ’ ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ’ ἐμέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης

louka.loukas@gmail.com

μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ’ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.

Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ’ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ’ ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

*καὶ πάλιν*

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ’ ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## ψαλμὸς ξβ′ (62)

Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

*καὶ πάλιν*

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Δόξα Πατρί... Καὶ νῦν...
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια, Δόξα σοι ὁ Θεὸς. (γ′)
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Δόξα Πατρί... Καὶ νῦν...

## ψαλμὸς πζ′ (87)

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

louka.loukas@gmail.com

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς·
Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σὲ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μή τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μή διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μή γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;
Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ, ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

*καὶ πάλιν*

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## ψαλμὸς ρβ′ (102)

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ

οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*καὶ πάλιν*

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## ψαλμὸς ρμβ' (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

*καὶ πάλιν*

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (β')

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρί... Καὶ νῦν...

Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. (γ')

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Συναπτὴ μεγάλη

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.** (μετά ἀπό κάθε δέησιν)

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἀρχιεπισκόπου ἡμῶν..., τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως καὶ ἐνορίας ταύτης, πάσης πόλεως, χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοί, Κύριε.**

Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ἀμήν.**

## Ἀπολυτίκια

Ἦχος

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.171#




Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ἦχος

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.131/1171*




ω που με εν σε η μεις οι α να ξι οι ι να ταις σαις δε
η σε σι τει χι σης η μας σκε πη των πτε ρυ υ γων της
α υ λου σου δο ξης φρου ρων η μας προσ πι πτο ον
τας εκ τε νως και βο ω ων τας εκ των κιν δυ νων
λυ τρω σαι η μας ως τα ξι αρ χης των α νω δυ να
με ων
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα
τι
τὸ αὐτὸ
Τ ων ου ρα νι ω ων στρα τι ων αρ χι στρα τη γε δυσ
ω που με εν σε η μεις οι α να ξι οι ι να ταις σαις δε




Θεοτοκίον

## Ἦχος Βου

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.172#






Συναπτὴ μικρά

| | |
|---|---|
| Ἔτι καὶ ἔτι… | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον… | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου… | Σοί, Κύριε. |
| Ὅτι σὸν τὸ κράτος… | Ἀμήν. |

## Καθίσματα μετὰ τὴν α′ στιχολογίαν

μαρτυρικόν

Ἦχος

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.258*






μαρτυρικόν

## Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.265*




τε και Χρι στον με τα παρ ρη σι ας ε κη ρυ ξα τε
αυ τον ως α γα θον ι κε τε ευ σα τε σω
θη ναι δε ο με θα τας ψυ χα α ας η μων
μαρτυρικόν
Ἦχος Δι
πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.274*
Τοις α γι οις τοις εν τη γη αυ του ε θαυ μα
στω σεν ο Κυ ρι ος
Α πο ο στο λοι μαρ τυ ρες και προ φη ται ι
ε ραρ χαι ο σι οι και δι και οι οι κα λως τον
α γω να τε λε σαν τες και την πι στιν τη ρη σαν τες
παρ ρη σι αν ε χον τες προς τον Σω τη η ρα υ

περ η μων αυ τον ως α γα θον ι κε τε ευ σα

τε σω θη ναι δε ο με θα τας ψυ χα α ας η

μων

Θεοτοκίον

Ἦχος Δι

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.65#

Δο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα

τι

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων

α μην

Παν τα υ περ εν νοι αν παν τα υ περ εν δο ξα

τα σα Θε ο το κε μυ στη ρι α τη α γνει α ε σφρα




## Καθίσματα μετὰ την β′ στιχολογίαν

μαρτυρικόν

Ἦχος

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.283+251*




σαν αυ των ταις ι κε σι ι αις και η μας ε λευ
θε ρω σον του α ο ρα του ε χθρου Σω τηρ και σω ω
ω σον η μας
Δο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα
τι
Και νυν και α ει και εις τους αι ω νας των αι ω νων
α μην
Μη τηρ α γι ι α η του α φρα στου φω
τος αγ γε λι κοις σε υ μνοις τι μων τες ευ σε βως μεγα
λυ υ νο με ε εν

# ν΄ ψαλμὸς

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τε ταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη

Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφοράν, καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ α΄

ὁ εἱρμὸς

### Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Εἱρμολόγιον 1903 σ.320*

Τὴν Μωσέως ᾠδήν, ἀναλαβοῦσα βόησον ψυχή. Βοηθὸς καὶ σκεπαστής, ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.




(δις)

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Διωγμοὺς χαλεπούς, καὶ αἰκισμοὺς σφοδροὺς καρτερικῶς, ἐνεγκόντες ἀθληταί, πᾶσαν τὴν πλάνην ἐκ τῶν περάτων, σθένει θεϊκῷ ἐδιώξατε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ Θεοῦ λειτουργοί, καὶ ἱεράρχαι φέγγει νοητῷ, ἀπαστράπτοντες σαφῶς, πρὸς φῶς ὡδήγησαν εὐσεβείας, πάντων εὐσεβῶν τὰ πληρώματα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑπερήφανον νοῦν, ταπεινωθέντες ὅσιοι καλῶς, κατεκλίνατε εἰς γῆν, καὶ ὑψωθέντες ἐνθέοις τρόποις, πᾶσι ταπεινοῖς βοηθεῖτε ἀεί.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Αἱ ἀσκήσει στερρῶς, ἠγωνισμέναι καὶ ἀθλητικῶς, καθελοῦσαι τὸν ἐχθρόν, σεμναὶ γυναῖκες Θεοκυῆτορ, σὲ περιεστῶσαι, εὐφραίνονται.

## Κανὼν ἀρχαγγέλου Γαβριήλ, ᾠδὴ α΄

Ἀνοίξω τὸ στόμα μου

### Ἦχος δ΄.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς φῶς χρηματίζοντα, ταῖς πρὸς τὸ φῶς τὸ ἀκρότατον, ἀΰλοις μεθέξεσι, θεῖον καὶ ἄϋλον, ἱκετεύω σε, Ἀρχάγγελε τὸν νοῦν μου, φωτίσαι πρεσβείαις σου, ὅπως ὑμνήσω σε.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στησώμεθα σήμερον, χοροὺς ἐνθέους γηθόμενοι, τὸν πρῶτον γεραίροντες, τῶν ἀσωμάτων Νοῶν, τὸν τὴν ἄρρητον, χαρὰν μεμηνυκότα, ἐν κόσμῳ φοιτήσασαν, δι᾽ ἀγαθότητα.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Προστάτην σε μέγιστον, καὶ πρὸς Θεὸν ἀντιλήπτορα, καὶ τεῖχος καὶ στήριγμα, Γαβριὴλ ἔχοντες, οἱ ποθοῦντές σε, ῥυόμεθα κινδύνων, καὶ βλάβης τοῦ ὄφεως, ἀνευφημοῦντές σε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁγνὴν σὲ πανάμωμε, ὁ Γαβριὴλ ὡς ἑώρακε, τὸ Χαῖρε σοι Δέσποινα, λαμπρῶς ἐβόησεν, ἀπειρόγαμε, βροτῶν ἡ σωτηρία, Ἀγγέλων τὸ καύχημα, καὶ σεμνολόγημα.

## Κανὼν Στεφάνου ὁσίου, ᾠδὴ α΄

Ἐν βυθῷ κατέστρωσε

### Ἦχος β΄.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοὶ τῆς σῆς Παμμάκαρ διδαχῆς, χρέος προσκομίζοντες, τὴν ἀμοιβὴν ἀποτείνομεν στέφανον, ἐγκωμίων πλέκοντες, σὺ δὲ ἵλεως δεδεγμένος πανόλβιε,

ταῖς σαῖς ἱκεσίαις, χάριν μοι παράσχου τὴν τοῦ Πνεύματος.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀλεθρίων ὅρμημα παθῶν, Πάτερ κατεμάρανας, ὡς λογισμὸν κεκτημένος θεόφρονα· εὐμενὴς γὰρ γέγονας, εὐπροσήγορος, προσηνής τε καὶ κόσμιος, λόγῳ τῆς σοφίας, Στέφανε καὶ γνώσεως στεφόμενος.

Δόξα Πατρὶ...

Ἱερῶς ἐκόσμησας σαυτόν, Πάτερ διὰ γνώσεως, καὶ πρακτικῆς ἐνεργείας χαρίσματος, θεορρῆμον Στέφανε, ἐφιέμενος, τῶν στεφάνων τῆς δόξης Χριστοῦ· ὅθεν τῆς ἐλπίδος, ἄριστα παμμάκαρ οὐ διήμαρτες.

Καὶ νῦν... Θεοτοκίον

Τῶν κτισμάτων σὺ ὡς ἀληθῶς, ὑπερτέρα πέφηνας, τῶν ὁρατῶν καὶ ἀοράτων Πάναγνε· τὸν γὰρ Κτίστην τέτοκας ὡς ηὐδόκησε, σαρκωθῆναι ἐν μήτρᾳ σου, ᾧ σὺν παρρησίᾳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ γ΄

ὁ εἱρμός

Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Εἱρμολόγιον 1903 σ.321*

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεός, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.




Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Πυρωθέντες τῷ πυρί, τῆς ἀγάπης τοῦ Χριστοῦ οἱ Ἀθλοφόροι, τῶν βασανων τὴν πυράν, δροσισμῷ τοῦ παντουργοῦ, ἔσβεσαν Πνεύματος.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἁγιώτατοι Χριστοῦ, Ἱεράρχαι καὶ σεπτοί, Ὁσίων δῆμοι, ὑπὲρ πάντων ἡμῶν, τὸν φιλάνθρωπον Θεόν, ἐκδυσωπήσατε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἱερώτατος χορός, τῶν ἐνθέων Προφητῶν ἐμεγαλύνθη, καὶ γυναίων πληθύς, ἐναθλήσασα στεῤῥῶς, δόξης ἐπέτυχον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μετὰ πάντων Προφητῶν, καὶ Γυναίων ἱερῶν, Θεὸν Παρθένε, τὸν τεχθέντα ἐκ σοῦ, δυσώπει ἐκτενῶς, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

## Κανὼν ἀρχαγγέλου Γαβριήλ, ᾠδὴ γ′

Τοὺς σοὺς ὑμνολόγους

### Ἦχος δ′.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεθέξει φωτὸς ἀϋλοτάτου, ὡς ἄϋλος ὄντως Γαβριήλ, ἀΰλως φωτιζόμενος, φῶς καθορᾶσαι δεύτερον, τοὺς ὑλικοὺς ἑκάστοτε, βροτοὺς φωτίζων ὑμνοῦντάς σε.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγίστης εὐκλείας ἠξιώθης, τὸ μέγα μυστήριον ἡμῖν, ἀνακαλύψας μέγιστε, ἀγγέλων δι᾿ οὗ ἤρθημεν, οἱ ἀπὸ γῆς πρὸς μέγιστον, ὕψος μεγάλως τιμῶντές σε.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπίφανον πᾶσιν οὐρανόθεν, τοῖς πόθῳ ζητοῦσί σε ἀεί, καὶ παῦσον τὸ κλυδώνιον, τὸ καθ᾿ ἡμῶν κινούμενον, τῶν πειρασμῶν καὶ θλίψεων, ὦ Γαβριὴλ ἀρχιστράτηγε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γνωρίζων τὸ πάλαι κεκρυμμένον, μυστήριον Κόρη σοι ποτέ, ὁ Γαβριὴλ ἐκραύγαζε· Χαῖρε Θεοῦ παλάτιον, ἐν ᾧ οἰκήσας ἅπαντας, βροτοὺς θεώσει ὡς

εὔσπλαγχνος.

## Κανὼν Στεφάνου ὁσίου, ᾠδὴ α΄

Ἐξήνθησεν ἡ ἔρημος

### Ἦχος β΄.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξέλαμψεν ὁ βίος σου, θεοφόρε Στέφανε, ὁλολαμπὴς ὡς ἥλιος, ἐν τῷ κόσμῳ καὶ κατεφώτισε, τοὺς σοὶ πίστει καὶ πόθῳ προσανέχοντας.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φωτίζονται τὰ πέρατα, διδαχαῖς σου Ὅσιε· ὡς γὰρ φωστὴρ ἐξέλαμψας, θεοφόρε τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἐν ᾗ ἐστερεώθη ἡ καρδία σου.

Δόξα Πατρί...

Ἀδούλωτον ἐτήρησας, τὴν ψυχήν σου πάθεσι, καὶ ἡδοναῖς τοῦ σώματος, θεοφόρε Στέφανε τίμιε· διὸ νῦν ἐπαξίως εὐφημοῦμέν σε.

Καὶ νῦν... Θεοτοκίον

Ἐφάνης καθαρότητι, ὡσεὶ κρίνον Δέσποινα, τῶν ἀκανθῶν ἐκλάμψασα, λαμπηδόσι τῆς παρθενίας σου, ἐν μέσῳ Θεοτόκε πανσεβάσμιε.

ὁ εἱρμὸς τῆς γ᾽ ᾠδῆς

### Ἦχος Πα

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.440#






Μετά τὴν γ' ᾠδὴ συναπτὴ μικρά

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... | Ἀμήν. |

## Καθίσματα

### Κάθισμα τοῦ Ἀρχαγγέλου

Τὸν Τάφον σου Σωτὴρ

**Ἦχος α'. Πα**

Ὁ μέγας Γαβριήλ, ἀρχηγὸς τῶν ἀγγέλων, δεικνύμενος ἀεί, σὺν αὐτοῖς ἀνακράζει, τὸ θεῖον μελῴδημα, τῇ Τριάδι γηθόμενος. Τοῦτον ἅπαντες, μεγαλοφώνως ἐν πίστει, ἀνυμνήσωμεν, καὶ καθαρᾷ διανοίᾳ, αἰσίως δοξάσωμεν.

### Δόξα... τοῦ ὁσίου

Τὸ αἷμά σου σοφέ, μυστικῶς ἀνεβόα, ἐκ γῆς πρὸς τὸν Θεόν, ὡς τοῦ Ἄβελ θεόφρον· τρανῶς γὰρ ἐκήρυξας, τὴν Τριάδα τὴν ἄκτιστον· ὅθεν ὅσιε, ποιμαντικῶς διαπρέψας, ἀπεδίωξας, τοὺς τῆς αἱρέσεως λύκους, σφενδόνῃ τοῦ Πνεύματος.

### Καὶ νῦν... Θεοτοκίον

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Παρθένε, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τάς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

# Κανὼν εἰς πάντας τοὺς ἁγίους, ᾠδὴ δ΄

ὁ εἱρμός

## Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Εἱρμολόγιον 1903 σ.322*

Τὴν ἐκ παρθένου σου γέννησιν, ὁ προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· Τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην, ὅτι ἀπὸ Θαιμάν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου, ἐπεδήμησας Χριστέ.




Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ τοῦ Χριστοῦ τὰ παθήματα, εὐκλεεῖς ἀθλοφόροι, μιμησάμενοι καλῶς, κατατεινόμενοι ἔχαιρον, πολλαῖς βασάνοις, τὰς αἰωνιζούσας ἀντιδόσεις σκοποῦντες, ὧν τυχόντες, μακαρίζονται ἀεί.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νόμους τηροῦντες τοῦ Πνεύματος, ἱεράρχαι προφρόνως, ἐπωκείλατε λαούς, ὡς κυβερνῆται πανάριστοι, πρὸς θεῖον ὅρμον, καὶ μετατεθέντες ἐκ τῶν κάτω θορύβων, πρὸς γαλήνην μετηνέχθητε ζωῆς.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γῆς παρεπίδημοι ὤφθητε, μεταθέντες πατέρες, τὸ πολίτευμα ὑμῶν ἐν οὐρανοῖς, καθὼς γέγραπται, εὐσεβοφρόνως, καὶ σαρκὸς τὰ πάθη, χαλινώσαντες πόνοις ἐγκρατείας, τῇ δυνάμει τοῦ Χριστοῦ.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νέκρωσιν θείαν ποθήσασαι, τὴν ζωὴν τὴν ἀγήρω, προξενοῦσαν ἀληθῶς, διὰ βασάνων καὶ θλίψεων, καὶ ἐγκρατείας, τίμιαι γυναῖκες, ἠξιώθητε ταύτης, δυσωποῦσαι τὸν Χριστὸν ὑπὲρ ἡμῶν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὄρος κατάσκιον βλέπει σε, ἀρεταῖς ὁ προφήτης, Θεοτόκε Ἀββακούμ, ἐξ οὗ ἐπέφανεν ἀνθρώποις ὁ Θεός, ἀφράστως ἀρετῇ, καλύψας οὐρανούς, καὶ τὸ γένος ἀνθρώπων, διασώσας ἐκ φθορᾶς.

## Κανὼν ἀρχαγγέλου Γαβριήλ, ᾠδὴ δʹ

Τὴν ἀνεξιχνίαστον

### Ἦχος δʹ.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵστατο μεθέξεσι θεαρχικαῖς, πάλαι Γαβριὴλ ἀξιάγαστε, καταφαιδρύνων, τὸν προφήτην Δανιήλ, καὶ ἐντιθεὶς τὴν δήλωσιν, τῶν ἀγνοουμένων ἐν πνεύματι.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στόμασι πηλίνοις σε χαρμονικῶς, πύρινον τὴν φύσιν ὑπάρχοντα, ἀνευφημοῦμεν, ἐξελοῦ ἡμᾶς πυρός, διηνεκῶς φλογίζοντος, θείαις Γαβριὴλ μεσιτείαις σου.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ὑπὲρ τὸν ἥλιον θείαν στολήν, δόξῃ ἀπροσίτῳ ἀστράπτουσαν, ἠμφιεσμένος, στρατηγὲ τῶν Λειτουργῶν, τῷ Βασιλεῖ παρίστασαι, τῷ ἐπουρανίῳ γηθόμενος.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην σε τῷ Πνεύματι ὁ Γαβριήλ, περιηγνισμένην Πανάμωμε, κατανοήσας, ἐκβοᾷ σοι ἐμφανῶς· Χαῖρε ἀρᾶς ἡ λύτρωσις, καὶ τῶν προπατόρων ἀνάκλησις.

# Κανὼν Στεφάνου ὁσίου, ᾠδὴ δ'

Ἐλήλυθας, ἐκ Παρθένου

**Ἦχος β'.**

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ Στέφανε, μοναζόντων ἐγένου στεφάνωμα, ὡς λίθον πολύτιμον, τὴν ἀρετὴν περικείμενος· ὤφθης γὰρ μακάριε, θεοχαρίτωτον ὄντως ἐγκαλλώπισμα.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ἔνθεον, θεοφόρε σοφίαν τετίμηκας· διὸ τῶν χαρίτων σε, αὕτη στεφάνοις ἐλάμπρυνε, δόξαν τὴν αἰώνιον, σοὶ προξενήσασα πάτερ πανσεβάσμιε.

Δόξα Πατρί...

Ἀμάραντον, ὁ Δεσπότης Παμμάκαρ σοι στέφανον, ὡς δίκαιος ἔπλεξε, τῆς ἀρετῆς ἀμειβόμενος, Σάββα τοῦ θεόφρονος· σὺ μαθητὴς γὰρ ἐγένου γνησιώτατος.

Καὶ νῦν... Θεοτοκίον

Νεκρώσεως τὸν καρπόν μοι ἡ Εὔα προσήνεγκε, ζωὴν δὲ γεννήσασα, τὴν ἐνυπόστατον Πάναγνε, αὖθίς με ἀνώρθωσας· διὸ κραυγάζω σοι· Χαῖρε ἀειπάρθενε Δέσποινα.

# Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ ε'

ὁ εἱρμὸς

**Ἦχος Πα**

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ/292*

Τὴν ἀχλὺν τῆς ψυχῆς μου, Σωτήρ μου διασκεδάσας, τῷ φωτὶ τῶν ἐντολῶν σου καταύγασόν με, ὡς μόνος τῆς εἰρήνης βασιλεύς.






(δις)

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.
Σὲ ποθοῦντες οἰκτίρμον, ἐμίσησαν πάντα κόσμον, οἱ γενναῖοι Ἀθλοφόροι, προσομιλοῦντες βασάνοις, ἀπαρνήσει τῆς σαρκός.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.
Ἱεράρχαι προφῆται, καὶ ὅσιοι θεοφόροι, ταῖς τοῦ Πνεύματος ἀκτῖσι, φωταγωγοῦντες τὴν κτίσιν, σκότος λύετε παθῶν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.
Οἱ ὁσιώτατοι πατέρες, προφῆται καὶ ἱεράρχαι, καὶ ἀοίδιμοι γυναῖκες, σοὶ τῷ Δεσπότῃ τῶν ὅλων, εὐηρέστησαν Χριστῷ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Παναγία Παρθένε, τὸ καύχημα τῶν μαρτύρων, καὶ ὁσίων καὶ δικαίων, πάσης ἡμᾶς τυραννίδος, ἐξελοῦ τῶν πειρασμῶν.

## Κανὼν ἀρχαγγέλου Γαβριήλ, ᾠδὴ ε΄

Ἐξέστη τὰ σύμπαντα

### Ἦχος δ΄.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Νοὸς κατὰ μέθεξιν, τοῦ πρώτου φωτιζόμενος, δεύτερον ὡράθης φῶς κραυγάζων, σὺν ταῖς ἀπείροις Ἀγγέλων τάξεσιν, Ἅγιος Πατὴρ ὁ παντουργός, ὁ Υἱὸς συνάναρχος, καὶ τὸ Πνεῦμα τὸ σύνθρονον.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τὸ εἶδός σου πύρινον, τὸ κάλλος ὑπερθαύμαστον, ἅπασαν διάνοιαν ἐκπλῆττον, μέγα τὸ κλέος Γαβριὴλ μέγιστε, θείων Ἀσωμάτων ἀρχηγέ, πάντων ἐγκαλλώπισμα, τῶν πιστῶς ἀνυμνούντων σε.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ θεῖος ὡς εἶδέ σε, καιρῷ τοῦ θυμιάματος, πάλαι συνεστῶτα Ζαχαρίας, μένει κωφεύων· οὐ γὰρ ἐπίστευσε, σοῦ τῇ ἀγγελίᾳ τῇ φρικτῇ, ἥπερ ἐξεφώνησας, Γαβριήλ, Ἀρχιστράτηγε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ναὸς ἁγιάσματος, ὑπάρχουσα Πανάμωμε, φωνῇ Γαβριὴλ τοῦ Ἀρχαγγέλου, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, τέτοκας πανάγιον Θεόν, πάντας ἁγιάζοντα, καὶ δεινῶν ἐξαιρούμενον.

## Κανὼν Στεφάνου ὁσίου, ᾠδὴ ε΄

Μεσίτης Θεοῦ

### Ἦχος πλ. β΄.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁρμὴν τῶν παθῶν, ἀπαθείας ἔρωτι, κατέσβεσας, θεοφόρε Στέφανε, καὶ ταῖς θεωρίαις τε καὶ πράξεσι, κατελάμπρυνας Πάτερ, τὴν τῆς ψυχῆς κατάστασιν.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοῒ καθαρῷ, ταῖς γραφαῖς ὡμίλησας τοῦ Πνεύματος, θεορρῆμον Στέφανε, καὶ τῆς θεωρίας καὶ τῆς πράξεως, συνελέξω τὸν πλοῦτον, θεόφρον Πάτερ Ὅσιε.

Δόξα Πατρί...

Σοφίας βυθόν, ἐρευνήσας Στέφανε κατέλαβες, εὑρεῖν ὅσον χρήσιμον, καὶ τὸν μαργαρίτην τὸν πολύτιμον, διὰ πόνων ἐκτήσω, παμμάκαρ τὸν τῆς γνώσεως.

Καὶ νῦν... Θεοτοκίον

Ἰδοὺ ἐν γαστρί, Θεοτόκε πάναγνε Χριστὸν τὸν Θεόν, ὑπὲρ λόγον ἔσχηκας, ὥσπερ Ἡσαΐας προηγόρευσεν, ὑπὲρ φύσιν τε τοῦτον, Θεογεννῆτορ τέτοκας.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ ς΄

ὁ εἱρμὸς

### Ἦχος  Πα

Ἰωάννου Πρωτοψάλτου
Εἱρμολόγιον 1903 σ.323*

Βυθῷ ἁμαρτημάτων συνέχομαι ἀεί, καὶ ἐν πελάγει τοῦ βίου χειμάζομαι, ἀλλ᾽ ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρός, κἀμὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσον Σωτήρ.




(δις)

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Στερρότητι καρδίας, ἐχθρὸν οἱ ἀθληταί, ἀντιταξάμενοι, τοῦτον κατέβαλον, καὶ ἔλαβον νίκης στέφος ἐκ Θεοῦ· διὸ ἐκτενῶς πρεσβεύουσι, τοῦ σωθῆναι νῦν ἡμᾶς.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Θεοῦ τοὺς ἱεράρχας, τιμήσωμεν πιστῶς, καὶ τοὺς ὁσίους αὐτοῦ μακαρίσωμεν, σῳζόμενοι ταῖς δεήσεσιν αὐτῶν, ἐκ πάσης ὀργῆς καὶ θλίψεως, καὶ κακίας τοῦ ἐχθροῦ.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐνήθλησε γυναίων, ὁ ἔνθεος χορός, καὶ ἐν ἀσκήσει Θεὸν ἐθεράπευσε, καὶ ἔτυχε βασιλείας οὐρανῶν. Αὐτῶν προσευχαῖς τὸν κόσμον σου, σῶσον μόνε Ἰησοῦ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁγία Θεοτόκε, ἁγίασον ἡμῶν, τοὺς λογισμούς, καὶ τὸ φρόνημα στήριξον, καὶ σῶσον ἐκ τῶν βελῶν τοῦ πονηροῦ, ἀτρώτους ἡμᾶς δοξάζοντας, σοῦ τὸ ἔλεος ἁγνή.

Κανὼν ἀρχαγγέλου Γαβριήλ, ᾠδὴ ϛ´

Τὴν θείαν ταύτην

## Ἦχος δ'.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γεώδεις γλῶσσαι γεραίρειν σε, τὸν νοῦν τὸν φωταυγῆ καὶ οὐράνιον, οὐκ ἐξισχύουσι, περιφανῶς λαμπρυνόμενον, ταῖς ὑπὲρ νοῦν καὶ λόγον, θείαις λαμπρότησιν.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκτὶς ἡλίου πολύφωτε, πυρίνων λειτουργῶν ἀρχιστράτηγε, ταῖς σελασφόροις σου, πρὸς τὸν Δεσπότην δεήσεσι, τοὺς ὑμνητάς σου σκότους, παθῶν ἐξάρπασον.

Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βουλὰς ἐθνῶν διασκέδασον, τὴν πίστιν τὴν ὀρθόδοξον κράτυνον, παῦσον τὰ σχίσματα, τῆς Ἐκκλησίας ἀρχάγγελε, ταῖς πρὸς τὸν Κτίστην πάντων, σοῦ παρακλήσεσι.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥημάτων θείων ὑπήκοος, Ἁγνὴ τοῦ Γαβριὴλ ἐχρημάτισας, καὶ τὸν προάναρχον, Λόγον σαρκὶ ἀπεκύησας, τῆς ἀλογίας κόσμον, ἀπολυτρούμενον.

### Κανὼν Στεφάνου ὁσίου, ᾠδὴ ϛ'

Ἐν ἀβύσσῳ πταισμάτων

## Ἦχος ϐ'.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἰκουμένης φωστὴρ φαεινότατος, πάτερ ἀναδέδειξαι λόγων λαμπρότησι, καταφωτίζων Στέφανε, τοὺς σοὶ πίστει καὶ πόθῳ προστρέχοντας.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μακαρίως τὸν βίον διέδραμες· μύσας τὰς αἰσθήσεις γὰρ ἔξω γεγένησαι, τῆς κοσμικῆς συγχύσεως, καὶ Θεῷ προσωμίλησας Στέφανε.

Δόξα Πατρὶ...

Ὢς καλὸς ὡς ὡραῖος ὁ στέφανος, ᾧ νῦν ἐστεφάνωσαι πάνσοφε Στέφανε, ταῖς ἀρεταῖς στεφόμενος, καὶ παθῶν βασιλεύσας πανάριστε.

**Καὶ νῦν... Θεοτοκίον**

Ὑπὲρ φύσιν Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

ὁ εἱρμὸς τῆς ς᾽ ᾠδῆς

**Ἦχος Πα**

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.442#




Μετά τὴν ς᾽ ᾠδὴ συναπτὴ μικρά

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Σὺ γὰρ εἶ ὁ βασιλεὺς... | Ἀμήν. |

## Κοντάκιον τοῦ ἀρχαγγέλου Γαβριήλ

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

**Ἦχος δ᾽.**

Τῶν ἀσωμάτων λειτουργῶν ὡς πρωτεύων, τὸ πρὸ αἰώνων ὁρισθὲν ὄντως μέγα, σὺ Γαβριὴλ πεπίστευσαι μυστήριον, τόκον τὸν ἀπόρρητον, τῆς ἁγίας Παρθένου· Χαῖρε προσφωνῶν αὐτῇ, ἡ κεχαριτωμένη. Χρεωστικῶς σε ὅθεν οἱ

πιστοί, ἐν εὐφροσύνῃ ἀεὶ μακαρίζομεν.

## Συναξάριον

**Τῇ ιγ′ τοῦ αὐτοῦ μηνός, ἡ σύναξις τελεῖται τοῦ ἀρχαγγέλου Γαβριήλ.**

στίχοι
Τῶν σῶν ἀγαθῶν ὥσπερ οὐκ ἔχω κόρον,
Ὡς οὐδ᾽ ἑορτῶν, Γαβριὴλ Ἄρχων Νόων.
Τῇ δεκάτῃ δὲ τρίτῃ συναγήοχεν ὧδε Γαβριήλ.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου.**

στίχοι
Καὶ σκῶλα καὶ θήρατρα καὶ πάγας βίου,
Φυγὼν Στέφανος εἰς Ἐδὲμ λόγμας ἔδυ.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Γολινδούχ, τῆς μετονομασθείσης Μαρίας.**

στίχοι
Σκηνοῖς Γολινδοὺχ εἰς Ἐδέμ, σκηναὶ δὲ σοι,
Τὸ τοῦ Βαλαάμ, ὡς σκιάζουσαι νάπαι.

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.**

## ὁ εἱρμὸς τῆς η᾽ ᾠδῆς

### Ἦχος Πα

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.444#






## θ′ ᾠδὴ τῆς Θεοτόκου

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Ἦχος Πα

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β'
2003 σ.21#




Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι ι τω ως των Σε ρα φιμ την α δι
α φθο ρως Θε ον Λο γο ον τε κου σαν την ον τως Θε
ο το κον σε ε μεγα α λυ νο μεν
Ο τι ε πε βλε ψεν ε πι την τα πει νω σιν
της δου λης αυ του ι δου γαρ α πο του νυν μα κα
ρι ου σι με πα σαι αι γε νε αι
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι ι τω ως των Σε ρα φιμ την α δι
α φθο ρως Θε ον Λο γο ον τε κου σαν την ον τως Θε


ο το κον σε ε μεγα α λυ νομεν
Ο τι ε ποι η σε μοι με γα λει α ο δυ να
τος και α γι ον το ο νο μα αυ του και το ε λε
ος αυ του εις γε νε αν και γε νε αν τοις φο βου με
νοις αυτον
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι α
φθο ο ρως Θε ον Λο γο ον τε κου σαν την ον τως Θε ο
το κον σε ε μεγα λυ νομεν
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ του


δι ε σκορ πι σεν υ περ η φα νους δι α νοι
α καρ δι ας αυτων
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι α
φθο ο ρως Θε ον Λο γο ον τε κου σαν την ον τως Θε ο
το κον σε ε μεγα λυ νο μεν
Κ α θει λε δυ να στας α πο θρο νων και υ
υ ψω σε τα πει νους πει νων τας εν ε πλη σεν α γα
θων και πλου τουν τας εξ α πε στει λε κε νους
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο


ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το
κον σε ε μεγα α λυ νο μεν
Α ν τε λα βε το Ισ ρα ηλ παι δος αυ του μνη
σθη ναι ε λε ους κα θως ε λα λη σε προς τους πα
τε ρας η μων τω Α βρα αμ και τω σπερ μα τι αυ του
ε ως αι ω νος
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το




ὁ εἱρμὸς τῆς θ' ᾠδῆς

## Ἦχος Πα

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.445#




## Ἦχος Πα

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β'
2003 σ.23#






Συναπτή μικρά

| | |
|---|---|
| Ἔτι καὶ ἔτι… | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον… | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου… | Σοί, Κύριε. |
| Ὅτι σὲ αἰνοῦσι… | Ἀμήν. |

## Ἐξαποστειλάρια

### τῷ Σαββάτῳ

Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.504*






τοῦ ἀρχαγγέλου Γαβριὴλ

Γυναῖκες ἀκουτίσθητε

Ἦχος Βου

π.Κ.Παπαγιάννης
Μηνολόγιον 2007 σ.77/2415*






## Θεοτοκίον

Εἰκόνος ἧς μετέλαβον, θεουργικῶς τῆς κρείττονος, ἐξώσθην, οἴμοι! ὁ τάλας, δι᾽ ἀκρασίας τῆς πάλαι· σὺ δὲ Χριστὲ ὡς εὔσπλαγχνος, ἀρρήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας με Λόγε, παρθενικῶν ἐξ αἱμάτων.

## Αἶνοι

### Ἦχος Πα

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.39#






στιχηρὰ

## Ἦχος Πα

Θεοφάνους Βατοπαιδινού*




ΠΑ
Ο τι αυ τος ει πε και ε γε νη θη σαν αυ το ος
ε νε τει λα το και ε κτι σθη σαν
ΠΑ
Ε στη σεν αυ τα εις τον αι ω ω να και εις τον αι
ω να του αι ω ω νος προ ο σταγμα ε θε το και ου πα
ρε λευ σε ται
ΠΑ
Α ι νει τε τον Κυ υ ρι ον εκ της γης δρα κον τες και
πα σαι α βυσ σοι
ΠΑ
Π υρ χα λα ζα χι ων κρυ στα λος πνευ μα κα ται γι ι
δος τα ποι ουν τα τον λο ο γον αυ του
ΠΑ
Τ α ο ο ρη και παν τες οι βου νοι ξυ λα καρ πο


φο ο ρα και πασαι κε δροι
ΠΑ
Τ α θη ρι α και πα αντα τα κτη η νη ερ πε τα
ΜΕΛ ΠΑ
και πε τει να α πτε ρω τα
ΠΑ
Β α σι λεις της γης και παν τες λα οι αρ χον τες και
παν τες κρι ται αι γης
ΠΑ
Ν ε α νι σκοι και παρ θε νοι πρε σβυ τε ροι με τα νε
ο τε ε ρων αι νε σα τω σαν το ο νο μα Κυ ρι ι
